παρανόμως πείθουσιν οἱ κατήγοροι ψηφίσασθαι. οὔ τοι τῶν
ἐπειγομένων ἐστὶ τὰ πράγματα, ἀλλὰ τῶν εὖ βουλευομένων.
νῦν μὲν οὖν γνωρισταὶ γίγνεσθε τῆς δίκης, τότε δὲ δικασταὶ τῶν
μαρτύρων· νῦν μὲν δοξασταί, τότε δὲ κριταὶ τῶν ἀληθῶν.
95 ῥᾷστον δέ τοί ἐστιν ἀνδρὸς περὶ θανάτου φεύγοντος τὰ ψευδῆ
καταμαρτυρῆσαι. ἐὰν γὰρ τὸ παραχρῆμα μόνον πείσωσιν
ὥστε ἀποκτεῖναι, ἅμα τῶι σώματι καὶ ἡ τιμωρία ἀπόλωλεν.
οὐδὲ γὰρ οἱ φίλοι ἔτι θελήσουσιν ὑπὲρ ἀπολωλότος τιμωρεῖν·
96 ἐὰν δὲ καὶ βουληθῶσιν, τί ἔσται πλέον τῶι γε ἀποθανόντι; νῦν
μὲν οὖν ἀποψηφίσασθέ μου· ἐν δὲ τῆι τοῦ φόνου δίκηι οὗτοί τε
τὸν νομιζόμενον ὅρκον διομοσάμενοι ἐμοῦ κατηγορήσουσι, καὶ
ὑμεῖς περὶ ἐμοῦ κατὰ τοὺς κειμένους νόμους διαγνώσεσθε, καὶ
ἐμοὶ οὐδεὶς λόγος ἔσται ἔτι, ἐάν τι πάσχω, ὡς παρανόμως
ἀπωλόμην. ταῦτά τοι δέομαι ὑμῶν, οὔτε τὸ ὑμέτερον εὐσεβὲς
παρεὶς οὔτε ἐμαυτὸν ἀποστερῶν τὸ δίκαιον· ἐν δὲ τῶι ὑμετέρωι
ὅρκωι καὶ ἡ ἐμὴ σωτηρία ἔνεστι. πειθόμενοι δὲ τούτων ὅτωι
βούλεσθε, ἀποψηφίσασθέ μου.

## 6. Περὶ τοῦ χορευτοῦ

1 Ἥδιστον μέν, ὦ ἄνδρες δικασταί, ἀνθρώπωι ὄντι μὴ γενέσθαι
μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις
ταῦτα εὔξαιτο· εἰ ⟨δ'⟩ ἄρα τις καὶ ἀναγκάζοιτο κινδυνεύειν,
τοῦτο γοῦν ὑπάρχειν, ὅπερ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι
τοιούτωι, αὐτὸν ἑαυτῶι συνειδέναι μηδὲν ἐξημαρτηκότι, ἀλλ' εἴ
τις καὶ συμφορὰ γίγνοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης
2 γίγνεσθαι, καὶ τύχηι μᾶλλον ἢ ἀδικίαι. καὶ τοὺς μὲν νόμους οἳ
κεῖνται περὶ τῶν τοιούτων πάντες ἂν ἐπαινέσειαν κάλλιστα
νόμων κεῖσθαι καὶ ὁσιώτατα. ὑπάρχει μὲν γὰρ αὐτοῖς
ἀρχαιοτάτοις εἶναι ἐν τῆι γῆι ταύτηι, ἔπειτα τοὺς αὐτοὺς αἰεὶ
περὶ τῶν αὐτῶν, ὅπερ μέγιστον σημεῖον νόμων καλῶς
κειμένων· ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα

**5.95** ῥᾷστον δέ τοί Dobree: ἀραῖς τῶν δετοι *A*: lacunam habet *N*
**6.1** δ' add. Aldus



διδάσκει τοὺς ἀνθρώπους. ὥστ' οὐ δεῖ ὑμᾶς ἐκ τῶν λόγων τοῦ
κατηγοροῦντος τοὺς νόμους μαθεῖν εἰ καλῶς ἔχουσιν ἢ μή, ἀλλ'
ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως
διδάσκουσιν ἢ οὔ. ὁ μὲν οὖν ἀγὼν ἐμοὶ μέγιστος τῶι 3
κινδυνεύοντι καὶ διωκομένωι. ἡγοῦμαι μέντοι γε καὶ ὑμῖν τοῖς
δικασταῖς περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς
διαγιγνώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς,
ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. ἔστι μὲν γὰρ περὶ τοῦ τοιούτου
[αὐτοῦ] μία δίκη· αὕτη δὲ μὴ ὀρθῶς καταγνωσθεῖσα
ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς. ἀνάγκη γάρ, ἐὰν 4
ὑμεῖς καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα μηδὲ ἔνοχον τῶι ἔργωι
χρήσασθαι τῆι δίκηι, καὶ νόμωι εἴργεσθαι πόλεως ἱερῶν
ἀγώνων θυσιῶν, ἅπερ μέγιστα καὶ παλαιότατα τοῖς
ἀνθρώποις. τοσαύτην γὰρ ἀνάγκην ὁ νόμος ἔχει ὥστε καὶ ἄν
τις κτείνηι τινὰ ὧν αὐτὸς κρατεῖ καὶ μὴ ἔστιν ὁ τιμωρήσων, τὸ
νομιζόμενον καὶ τὸ θεῖον δεδιὼς ἁγνεύει τε ἑαυτὸν καὶ ἀφέξεται
ὧν εἴρηται ἐν τῶι νόμωι, ἐλπίζων οὕτως ἂν ἄριστα πράξειν.
ἔστι μὲν γὰρ τὰ πλείω τοῖς ἀνθρώποις τοῦ βίου ἐν ταῖς ἐλπίσιν· 5
ἀσεβῶν δὲ καὶ παραβαίνων τὰ εἰς τοὺς θεοὺς καὶ αὐτῆς ἂν τῆς
ἐλπίδος, ὅπερ μέγιστόν ἐστι τοῖς ἀνθρώποις ἀγαθόν, αὐτὸς
αὑτὸν ἀποστεροίη. καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν
δεδικασμένην παραβαίνειν πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῶι
ἔργωι, οὔτ' αὖ συνειδὼς αὑτὸς αὑτῶι ἔργον εἰργασμένος
τοιοῦτον μὴ οὐ χρῆσθαι τῶι νόμωι· ἀνάγκη δὲ τῆς τε δίκης
νικᾶσθαι παρὰ τὸ ἀληθές, αὐτοῦ τε τοῦ ἀληθοῦς, κἂν μὴ ὁ
τιμωρήσων ἦι. αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι καὶ αἱ 6
διωμοσίαι καὶ τὰ τόμια καὶ αἱ προρρήσεις, καὶ τἆλλα ὅσα
γίγνεται τῶν δικῶν τοῦ φόνου ἕνεκα, πολὺ διαφέροντά ἐστιν ἢ
ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι,
περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς μὲν γὰρ
γνωσθέντα τιμωρία ἐστὶν ὑπὲρ τοῦ ἀδικηθέντος, φονέα δὲ τὸν
μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβεια εἴς τε τοὺς θεοὺς καὶ
τοὺς νόμους. καὶ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς

**6.3** αὐτοῦ del. Maetzner

⟨αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς⟩ γνῶναι. ἡ μὲν
γὰρ τούτου αἰτίασις οὐκ ἔχει νῦν τέλος, ἀλλ᾽ ἐν ὑμῖν ἐστι καὶ τῆι
δίκηι· ὅ τι δ᾽ ἂν ὑμεῖς μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἂν
ἀνενεγκών τις τὴν αἰτίαν ἀπολύσαιτο.
7 ἐγὼ δέ, ὦ ἄνδρες, οὐ τὴν αὐτὴν γνώμην ἔχω περὶ τῆς
ἀπολογίας ἥνπερ οἱ κατήγοροι περὶ τῆς κατηγορίας. οὗτοι
γὰρ τὴν μὲν δίωξιν εὐσεβείας ἕνεκά φασι ποιεῖσθαι καὶ τοῦ
δικαίου, τὴν δὲ κατηγορίαν ἅπασαν πεποίηνται διαβολῆς
ἕνεκα καὶ ἀπάτης, ὅπερ ἀδικώτατόν ἐστι τῶν ἐν ἀνθρώποις,
καὶ οὐκ ἐλέγξαντες, εἴ τι ἀδικῶ, δικαίως με βούλονται
τιμωρεῖσθαι, ἀλλὰ διαβάλλοντες, καὶ εἰ μηδὲν ἀδικῶ, ζημιῶσαι
8 καὶ ἐξελάσαι ἐκ τῆς γῆς ταύτης. ἐγὼ δὲ ἀξιῶ πρῶτον μὲν περὶ
αὐτοῦ τοῦ πράγματος κρίνεσθαι, καὶ διηγήσασθαι ἐν ὑμῖν τὰ
γενόμενα πάντα· ἔπειτα περὶ τῶν ἄλλων ὧν οὗτοι
κατηγοροῦσιν, ἐὰν ὑμῖν ἡδομένοις, βουλήσομαι
ἀπολογήσασθαι. ἡγοῦμαι γάρ μοι τιμὴν καὶ ὠφέλειαν αὐτὰ
9 οἴσειν, τοῖς δὲ κατηγόροις καὶ τοῖς ἐπηρεάζουσιν αἰσχύνην· ἐπεί
τοί γε καὶ δεινόν, ὦ ἄνδρες· ἵνα μὲν ἐξῆν αὐτοῖς, εἴ τι ἠδίκουν ἐγὼ
τὴν πόλιν ἢ ἐν χορηγίαι ἢ ἐν ἄλλοις τισίν, ἀποφήνασι καὶ
ἐξελέγξασιν ἄνδρα τε ἐχθρὸν τιμωρήσασθαι καὶ τὴν πόλιν
ὠφελῆσαι, ἐνταῦθα μὲν οὐδεὶς πώποτε οἷός τε ἐγένετο αὐτῶν
οὔτε μικρὸν οὔτε μέγα ἐξελέγξαι ἀδικοῦντα τόνδε τὸν ἄνδρα τὸ
πλῆθος τὸ ὑμέτερον· ἐν δὲ τούτωι τῶι ἀγῶνι, φόνου διώκοντες
καὶ τοῦ νόμου οὕτως ἔχοντος, εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν,
μηχανῶνται ἐπ᾽ ἐμοὶ λόγους ψευδεῖς συντιθέντες καὶ
διαβάλλοντες τὰ εἰς τὴν πόλιν. καὶ τῆι μὲν πόλει, εἴπερ
ἀδικεῖται, κατηγορίαν ἀντὶ τιμωρίας ἀπονέμουσιν, αὐτοὶ δὲ ὃ
τὴν πόλιν φασὶν ἀδικεῖσθαι, τούτου ἰδίαι ἀξιοῦσι δίκην
10 λαμβάνειν. καίτοι αὗται αἱ κατηγορίαι οὔτε χάριτος ἄξιαι οὔτε
πίστεως. οὔτε γὰρ δὴ οὗ ἡ πόλις ἐλάμβανεν ἂν δίκην εἴ τι
ἠδίκητο, ἐνταῦθα τὴν κατηγορίαν ποιεῖται, ὥστε χάριτος
ἄξιον εἶναι τῆι πόλει· οὔτε ὅστις εἰς ἄλλα κατηγορεῖ ἢ ἃ διώκει

**6.6** αἰτιάσασθαι . . . ὀρθῶς add. Aldus
**6.9** εἴπερ Blass: εἰ μὲν *AN* ὃ Cobet: οὗ Thalheim: ὦ *A*: ὧι *N*



ἐν πράγματι τοιούτωι, πιστεῦσαι δήπου αὐτῶι ἀξιώτερόν
ἐστιν ἢ ἀπιστῆσαι. ἐγὼ δὲ σχεδὸν ἐπίσταμαι τὴν ὑμετέραν
γνώμην, ὅτι οὔτ᾽ ἂν καταψηφίσαισθε οὔτ᾽ ἂν ἀποψηφίσαισθε
ἑτέρου τινὸς ἕνεκα μᾶλλον ἢ αὐτοῦ τοῦ πράγματος· ταῦτα γὰρ
καὶ ὅσια καὶ δίκαια. ἄρξομαι δὲ ἐντεῦθεν.
ἐπειδὴ χορηγὸς κατεστάθην εἰς Θαργήλια καὶ ἔλαχον 11
Παντακλέα διδάσκαλον καὶ Κεκροπίδα φυλὴν πρὸς τῆι
ἐμαυτοῦ, [τουτέστι τῆι Ἐρεχθηίδι,] ἐχορήγουν ὡς ἄριστα
ἐδυνάμην καὶ δικαιότατα. καὶ πρῶτον μὲν διδασκαλεῖον ⟨ἧι⟩ ἦν
ἐπιτηδειότατον τῆς ἐμῆς οἰκίας κατεσκεύασα, ἐν ὧιπερ καὶ
Διονυσίοις ὅτε ἐχορήγουν ἐδίδασκον· ἔπειτα τὸν χορὸν
συνέλεξα ὡς ἐδυνάμην ἄριστα, οὔτε ζημιώσας οὐδένα οὔτε
ἐνέχυρα βίαι φέρων οὔτ᾽ ἀπεχθανόμενος οὐδενί, ἀλλ᾽ ὥσπερ ἂν
ἥδιστα καὶ ἐπιτηδειότατα ἀμφοτέροις ἐγίγνετο, ἐγὼ μὲν
ἐκέλευον καὶ ἠιτούμην, οἱ δ᾽ ἑκόντες καὶ βουλόμενοι ἔπεμπον.
ἐπεὶ δὲ ἧκον οἱ παῖδες, πρῶτον μέν μοι ἀσχολία ἦν παρεῖναι καὶ 12
ἐπιμελεῖσθαι· ἐτύγχανε γάρ μοι πράγματα ὄντα πρὸς
Ἀριστίωνα καὶ Φιλῖνον, ἃ ἐγὼ περὶ πολλοῦ ἐποιούμην, ἐπειδή
περ εἰσήγγειλα, ὀρθῶς καὶ δικαίως ἀποδεῖξαι τῆι βουλῆι καὶ
τοῖς ἄλλοις Ἀθηναίοις. ἐγὼ μὲν οὖν τούτοις προσεῖχον τὸν
νοῦν, κατέστησα δὲ ἐπιμελεῖσθαι, εἴ τι δέοι τῶι χορῶι,
Φανόστρατον, δημότην μὲν τουτωνὶ τῶν διωκόντων,
κηδεστὴν δ᾽ ἐμαυτοῦ, ὧι ἐγὼ δέδωκα τὴν θυγατέρα, καὶ ἠξίουν
αὐτὸν ἄριστα ἐπιμελεῖσθαι· ἔτι δὲ πρὸς τούτωι δύο ἄνδρας, τὸν 13
μὲν Ἐρεχθηίδος Ἀμεινίαν, ὃν αὐτοὶ οἱ φυλέται ἐψηφίσαντο
συλλέγειν καὶ ἐπιμελεῖσθαι τῆς φυλῆς ἑκάστοτε, δοκοῦντα
χρηστὸν εἶναι, τὸν δ᾽ ἕτερον τῆς Κεκροπίδος, ὅσπερ ἑκάστοτε
εἴωθεν ταύτην τὴν φυλὴν συλλέγειν· ἔτι δὲ τέταρτον Φίλιππον,
ὧι προσετέτακτο ὠνεῖσθαι καὶ ἀναλίσκειν εἴ τι φράζοι ὁ
διδάσκαλος ἢ ἄλλος τις τούτων, ὅπως ἄριστα χορηγοῖντο οἱ
παῖδες καὶ μηδενὸς ἐνδεεῖς εἶεν διὰ τὴν ἐμὴν ἀσχολίαν.
καθειστήκει μὲν ἡ χορηγία οὕτω. καὶ τούτων εἴ τι ψεύδομαι 14
προφάσεως ἕνεκα, ἔξεστι τῶι κατηγόρωι ἐξελέγξαι ἐν τῶι

**6.11** τουτέστι τῆι Ἐρεχθηίδι del. Reiske ἧι add. Bekker

ὑστέρωι λόγωι ὅ τι ἂν βούληται [εἰπεῖν]· ἐπεί τοι οὕτως ἔχει, ὦ ἄνδρες· πολλοὶ τῶν περιεστώτων τούτων τὰ μὲν πράγματα ταῦτα πάντα ἀκριβῶς ἐπίστανται, καὶ τοῦ ὁρκωτοῦ ἀκούουσι, καὶ ἐμοὶ προσέχουσι τὸν νοῦν ἅττα ἐγὼ ἀποκρίνομαι, οἷς ἐγὼ βουλοίμην ἂν δοκεῖν αὐτός τε εὔορκος εἶναι καὶ ὑμᾶς τἀληθῆ λέγων πεῖσαι ἀποψηφίσασθαί μου.

15 πρῶτον μὲν οὖν ἀποδείξω ὑμῖν ὅτι οὔτε ἐκέλευσα πιεῖν τὸν παῖδα τὸ φάρμακον οὔτ' ἠνάγκασα οὔτ' ἔδωκα καὶ οὐδὲ παρῆν ὅτ' ἔπιεν. καὶ οὐ τούτου ἕνεκα ταῦτα σφόδρα λέγω, ὡς ἐμαυτὸν ἔξω αἰτίας καταστήσω, ἕτερον δέ τινα εἰς αἰτίαν ἀγάγω· οὐ δῆτα ἔγωγε, πλήν γε τῆς τύχης, ἥπερ οἶμαι καὶ ἄλλοις πολλοῖς ἀνθρώπων αἰτία ἐστὶν ἀποθανεῖν· ἣν οὔτ' ἂν ἐγὼ οὔτ' ἄλλος οὐδεὶς οἷός τ' ἂν εἴη ἀποστρέψαι μὴ οὐ γενέσθαι ἥντινα δεῖ ἑκάστωι.

Μάρτυρες

16 μεμαρτύρηται μὲν οὖν, ὦ ἄνδρες, περὶ τοῦ πράγματος ἃ ἐγὼ ὑμῖν ὑπεσχόμην· ἐξ αὐτῶν δὲ τούτων χρὴ σκοπεῖν ἅ τε οὗτοι διωμόσαντο καὶ ἃ ἐγώ, πότεροι ἀληθέστερα καὶ εὐορκότερα. διωμόσαντο δὲ οὗτοι μὲν ἀποκτεῖναί με Διόδοτον βουλεύσαντα τὸν θάνατον, ἐγὼ δὲ μὴ ἀποκτεῖναι, μήτε χειρὶ ἀράμενος μήτε

17 βουλεύσας. αἰτιῶνται δὲ οὗτοι μὲν ἐκ τούτων, ὡς αἴτιος ὃς ἐκέλευσε πιεῖν τὸν παῖδα τὸ φάρμακον ἢ ἠνάγκασεν ἢ ἔδωκεν· ἐγὼ δ' ἐξ αὐτῶν τούτων ὧν αἰτιῶνται οὗτοι ἀποφανῶ ὅτι οὐκ ἔνοχός εἰμι· οὔτε γὰρ ἐκέλευσα οὔτ' ἔδωκα οὔτ' ἠνάγκασα· καὶ ἐπιπροστίθημι αὐτοῖς ὅτι οὐ παρεγενόμην πίνοντι. καὶ εἴ φασιν ἀδικεῖν εἴ τις ἐκέλευσεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἐκέλευσα. καὶ εἴ φασιν ἀδικεῖν εἴ τις ἠνάγκασεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἠνάγκασα. καὶ εἰ τὸν δόντα τὸ φάρμακόν φασιν αἴτιον εἶναι,

18 ἐγὼ οὐκ αἴτιος· οὐ γὰρ ἔδωκα. αἰτιάσασθαι μὲν οὖν καὶ καταψεύσασθαι ἔξεστι τῶι βουλομένωι· αὐτὸς γὰρ ἕκαστος τούτου κρατεῖ· γενέσθαι μέντοι τὰ μὴ γενόμενα καὶ ἀδικεῖν τὸν μὴ ἀδικοῦντα οὐκ ἐν τοῖς τούτων λόγοις ἡγοῦμαι εἶναι, ἀλλ' ἐν

**6.17** αἴτιος ὃς Sauppe: οὗτος *AN*



τῶι δικαίωι καὶ τῶι ἀληθεῖ. ὁπόσα μὲν γὰρ λάθρα πράττεται καὶ ἐπὶ θανάτωι βουλευθέντα, ὧν μή εἰσι μάρτυρες, ἀνάγκη περὶ τῶν τοιούτων ἐξ αὐτῶν τῶν λόγων τῶν τε τοῦ κατηγόρου καὶ τοῦ ἀποκρινομένου τὴν διάγνωσιν ποιεῖσθαι καὶ θηρεύειν καὶ ἐπὶ σμικρὸν ὑπονοεῖν τὰ λεγόμενα, καὶ εἰκάζοντας μᾶλλον ἢ σάφα εἰδότας ψηφίζεσθαι περὶ τῶν πραγμάτων·
ὅπου δὲ πρῶτον μὲν αὐτοὶ οἱ κατήγοροι ὁμολογοῦσι μὴ ἐκ 19
προνοίας μηδ' ἐκ παρασκευῆς γενέσθαι τὸν θάνατον τῶι παιδί, ἔπειτα τὰ πραχθέντα φανερῶς ἅπαντα πραχθῆναι καὶ ἐναντίον μαρτύρων πολλῶν, καὶ ἀνδρῶν καὶ παίδων, καὶ ἐλευθέρων καὶ δούλων, ἐξ ὧνπερ καὶ εἴ τίς τι ἠδίκηκε, φανερώτατος ἂν εἴη, καὶ εἴ τις μὴ ἀδικοῦντα αἰτιῶιτο, μάλιστα ἐξελέγχοιτο.

ἄξιον δ' ἐνθυμηθῆναι, ὦ ἄνδρες, ἀμφότερα καὶ τῆς γνώμης 20
τῶν ἀντιδίκων καὶ οἵωι τρόπωι ἔρχονται ἐπὶ τὰ πράγματα. ἐξ ἀρχῆς γὰρ οὐδὲν ὁμοίως οὗτοί τε πρὸς ἐμὲ πράττουσι καὶ ἐγὼ
πρὸς τούτους. ἔλεξε μὲν γὰρ Φιλοκράτης οὑτοσὶ ἀναβὰς εἰς 21
τὴν ἡλιαίαν τὴν τῶν θεσμοθετῶν, τῆι ἡμέραι ἧι ὁ παῖς ἐξεφέρετο, ὅτι ἀδελφὸν αὐτοῦ ἀποκτείναιμι ἐγὼ ἐν τῶι χορῶι, φάρμακον ἀναγκάσας πιεῖν. ἐπειδὴ δὲ οὗτος ταῦτα ἔλεγεν, ἀναβὰς ἐγὼ εἰς τὸ δικαστήριον τοῖς αὐτοῖς δικασταῖς ἔλεξα ὅτι τὸν μὲν νόμον οὐ δίκαιον [οὐ] προκαθισταίη Φιλοκράτης κατηγορῶν καὶ διαβάλλων εἰς τὸ δικαστήριον, μελλόντων ἔσεσθαί μοι ἀγώνων πρὸς Ἀριστίωνα καὶ Φιλῖνον αὔριον ⟨καὶ⟩
τῆι ἕνηι, ὧνπερ ἕνεκα τοὺς λόγους τούτους λέγοι· ἃ μέντοι 22
αἰτιῶιτο καὶ διαβάλλοι, ῥαιδίως ἐξελεγχθήσοιτο ψευδόμενος· εἶεν γὰρ οἱ συνειδότες πολλοί, καὶ ἐλεύθεροι καὶ δοῦλοι, καὶ νεώτεροι καὶ πρεσβύτεροι, σύμπαντες πλείους ἢ πεντήκοντα, οἳ τούς τε λόγους τοὺς λεχθέντας περὶ τῆς πόσεως τοῦ φαρμάκου καὶ τὰ πραχθέντα καὶ τὰ λεγόμενα πάντα ἠπίσταντο.

καὶ εἶπόν τε ταῦτα ἐν τῶι δικαστηρίωι, καὶ προὐκαλούμην 23
αὐτὸν εὐθὺς τότε, καὶ αὖθις τῆι ὑστεραίαι ἐν τοῖς αὐτοῖς

**6.21** οὐ del. Maetzner: οὐ $A^2N$: om. *A*: οὗ $N^2$ καὶ add. Reiske

δικασταῖς, καὶ ἰέναι ἐκέλευον λαβόντα μάρτυρας ὁπόσους
βούλοιτο ἐπὶ τοὺς παραγενομένους, λέγων αὐτῶι ὀνόματι
ἕκαστον, τούτους ἐρωτᾶν καὶ ἐλέγχειν, τοὺς μὲν ἐλευθέρους ὡς
χρὴ τοὺς ἐλευθέρους, οἳ σφῶν ἕνεκα καὶ τοῦ δικαίου ἔφραζον ἂν
τἀληθῆ καὶ τὰ γενόμενα, τοὺς δὲ δούλους, εἰ μὲν αὐτῶι
ἐρωτῶντι τἀληθῆ δοκοῖεν λέγειν, εἰ δὲ μή, ἕτοιμος εἴην διδόναι
βασανίζειν τούς τε ἐμαυτοῦ πάντας, καὶ εἴ τινας τῶν
ἀλλοτρίων κελεύοι, ὡμολόγουν πείσας τὸν δεσπότην
24 παραδώσειν αὐτῶι βασανίζειν τρόπωι ὁποίωι βούλοιτο. καὶ
ταῦτα ἐμοῦ προκαλουμένου καὶ λέγοντος ἐν τῶι δικαστηρίωι,
οὗ καὶ αὐτοὶ οἱ δικασταὶ καὶ ἕτεροι ἰδιῶται πολλοὶ μάρτυρες
παρῆσαν, οὔτε τότε παραχρῆμα οὔτε ὕστερον ἐν παντὶ τῶι
χρόνωι οὐδεπώποτε ἠθέλησαν ἐλθεῖν ἐπὶ τοῦτο τὸ δίκαιον, εὖ
εἰδότες ὅτι οὐκ ἂν τούτοις κατ' ἐμοῦ ἔλεγχος ἐγίγνετο οὗτος,
ἀλλ' ἐμοὶ κατὰ τούτων, ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ἠιτιῶντο.
25 ἐπίστασθε δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ
μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις, καὶ ἔλεγχοι ἐκ τούτων
σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν μὲν
ἐλεύθεροι πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι, καὶ ἐξείη μὲν τοὺς
ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις
μέγιστα καὶ περὶ πλείστου ἐστίν, ἐξείη δὲ τοὺς δούλους ἑτέραις
ἀνάγκαις, ὑφ' ὧν καὶ ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες,
ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν· ἡ γὰρ παροῦσα ἀνάγκη
26 ἑκάστωι ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι. εἰς πάντα
τοίνυν ἐγὼ ταῦτα προὐκαλεσάμην τούτους, καὶ ἐξ ὧν γε χρὴ
ἄνθρωπον ὄντα τἀληθῆ καὶ τὰ δίκαια πυνθάνεσθαι, ἐξῆν
αὐτοῖς πυνθάνεσθαι, καὶ πρόφασις οὐδεμία ὑπελείπετο. καὶ ἐγὼ
μὲν ὁ τὴν αἰτίαν ἔχων καὶ ἀδικῶν, ὡς οὗτοί φασιν, ἕτοιμος ἦν
αὐτοῖς κατ' ἐμαυτοῦ παρέχειν ἔλεγχον τὸν δικαιότατον· οἱ δ'
αἰτιώμενοι καὶ φάσκοντες ἀδικεῖσθαι αὐτοὶ ἦσαν οἱ οὐκ
27 ἐθέλοντες ἐλέγχειν εἴ τι ἠδικοῦντο. καὶ εἰ μὲν ἐγὼ τούτων
προκαλουμένων μὴ ἠθέλησα τοὺς παραγενομένους ἀποφῆναι,
⟨ἢ⟩ θεράποντας ἐξαιτοῦσι μὴ ἤθελον ἐκδιδόναι, ἢ ἄλλην τινὰ

**6.23** εἴην Taylor: εἰμι *N*: εἶεν *A*



πρόκλησιν ἔφευγον, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια κατ'
ἐμοῦ ἐποιοῦντο ὅτι ἀληθὴς ἦν ἡ αἰτία· ἐπεὶ δ' ἐμοῦ
προκαλουμένου οὗτοι ἦσαν οἱ φεύγοντες τὸν ἔλεγχον, ἐμοὶ
δήπου δίκαιον κατὰ τούτων τὸ αὐτὸ τοῦτο τεκμήριον
γενέσθαι, ὅτι οὐκ ἀληθὴς ἦν ἡ αἰτία ἣν αἰτιῶνται κατ' ἐμοῦ.
ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες, ὅτι εἰ μὲν τούτοις ἐμοῦ κατε- 28
μαρτύρουν οἱ μάρτυρες οἱ παραγενόμενοι, αὐτοῖς ἂν τούτοις
ἰσχυροτάτοις ἐχρῶντο καὶ πίστιν ταύτην σαφεστάτην
ἀπέφαινον, τοὺς μάρτυρας τοὺς καταμαρτυροῦντας· τῶν
αὐτῶν δὲ τούτων μαρτυρούντων, ἃ μὲν ἐγὼ λέγω, ἀληθῆ
εἶναι, ἃ δὲ οὗτοι λέγουσιν, οὐκ ἀληθῆ, τοῖς μὲν μάρτυσι τοῖς
μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς διδάσκουσι, τοῖς δὲ λόγοις οἷς αὐτοὶ
λέγουσι πιστεύειν ὑμᾶς φασι χρῆναι, οὓς ἐγὼ εἰ ἔλεγον ἄνευ
μαρτύρων, ψευδεῖς ἂν κατηγόρουν εἶναι. καίτοι δεινὸν εἰ οἱ 29
αὐτοὶ μάρτυρες τούτοις μὲν ἂν μαρτυροῦντες πιστοὶ ἦσαν, ἐμοὶ
δὲ μαρτυροῦντες ἄπιστοι ἔσονται. καὶ εἰ μὲν πάνυ μὴ
παρεγένοντο μάρτυρες, ἐγὼ δὲ παρειχόμην, ἢ τοὺς
παραγενομένους μὴ παρειχόμην, ἑτέρους δέ τινας, εἰκότως ἂν
οἱ τούτων λόγοι πιστότεροι ἦσαν τῶν ἐμῶν μαρτύρων· ὅπου
δὲ μάρτυράς τε ὁμολογοῦσι παραγενέσθαι, καὶ ἐγὼ τοὺς
παραγενομένους παρέχομαι, ⟨καὶ⟩ εὐθὺς ἀπὸ τῆς πρώτης
ἡμέρας καὶ αὐτὸς ἐγὼ καὶ οἱ μάρτυρες ἅπαντες φανεροί ἐσμεν
λέγοντες ἅπερ νυνὶ πρὸς ὑμᾶς, πόθεν χρή, ὦ ἄνδρες, ἢ τἀληθῆ
πιστὰ ἢ τὰ μὴ ἀληθῆ ἄπιστα ποιεῖν ἄλλοθεν ἢ ἐκ τῶν τοιούτων;
ὅπου μὲν γὰρ λόγωι τις διδάσκοι περὶ τῶν πραχθέντων, 30
μάρτυρας δὲ μὴ παρέχοιτο, μαρτύρων ἄν τις τοὺς λόγους
τούτους ἐνδεεῖς φαίη εἶναι· ὅπου δὲ μάρτυρας μὲν παρέχοιτο,
τεκμήρια δὲ αὖ τοῖς μαρτυροῦσιν ὅμοια μὴ ἀποφαίνοιτο, ταὐτὰ
ἄν τις ἔχοι εἰπεῖν, εἰ βούλοιτο. ἐγὼ τοίνυν τούς τε λόγους ὑμῖν 31
εἰκότας ἀποφαίνω, καὶ τοῖς λόγοις τοὺς μάρτυρας
ὁμολογοῦντας καὶ τοῖς μάρτυσι τὰ ἔργα, καὶ τεκμήρια ἐξ

**6.29** καὶ add. Reiske
**6.30** ἀποφαίνοιτο *N*: ἀποφαίνοιντο *A*: ἀποφαίνοι Resike  ταὐτὰ Reiske: ταῦτα *AN*

αὐτῶν τῶν ἔργων, καὶ ἔτι πρὸς τούτοις δύο τὼ μεγίστω καὶ
ἰσχυροτάτω. τούτους μὲν αὐτούς τε ὑπὸ σφῶν αὐτῶν
ἐξελεγχομένους καὶ ὑπ' ἐμοῦ, ἐμὲ δὲ ὑπό τε τούτων καὶ ὑπὸ
32 ἐμαυτοῦ ἀπολυόμενον· ὅπου γὰρ ἐμοῦ ἐθέλοντος ἐλέγχεσθαι
περὶ ὧν ἠιτιῶντο οὗτοι μὴ ἤθελον ἐλέγχειν, ἠδίκουν, καὶ ἐμὲ μὲν
δήπου ἀπέλυον, αὐτοὶ δὲ κατὰ σφῶν αὐτῶν μάρτυρες
ἐγένοντο, ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ἠιτιῶντο. καίτοι εἰ
πρὸς τοῖς ἐμαυτοῦ μάρτυσι τοὺς ἀντιδίκους αὐτοὺς μάρτυρας
παρέχομαι, ποῖ ἔτι ἐλθόντα δεῖ ἢ πόθεν ἀποδείξαντα τῆς αἰτίας
ἀπολελύσθαι;

33 ἡγοῦμαι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων καὶ ἀποδεδειγμένων,
ὦ ἄνδρες, δικαίως ἄν μου ἀποψηφίσασθαι ὑμᾶς, καὶ
ἐπίστασθαι ἅπαντας ὅτι οὐδέν μοι προσήκει τῆς αἰτίας
ταύτης. ἵνα δ' ἔτι καὶ ἄμεινον μάθητε, τούτου ἕνεκα πλείω
λέξω, καὶ ἀποδείξω ὑμῖν τοὺς κατηγόρους τούτους
ἐπιορκοτάτους ὄντας καὶ ἀσεβεστάτους ἀνθρώπων, καὶ ἀξίους
οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ
34 τῶν ἄλλων πολιτῶν τῆς δίκης ἕνεκα ταυτησί. οὗτοι γὰρ τῆι μὲν
πρώτηι ἡμέραι ἧι ἀπέθανεν ὁ παῖς, καὶ τῆι ὑστεραίαι ἧι
προέκειτο, οὐδ' αὐτοὶ ἠξίουν αἰτιᾶσθαι ἐμὲ οὐδ' ἀδικεῖν ἐν τῶι
πράγματι τούτωι οὐδέν, ἀλλὰ συνῆσαν ἐμοὶ καὶ διελέγοντο· τῆι
δὲ τρίτηι ἡμέραι ἧι ἐξεφέρετο ὁ παῖς, ταύτηι δὴ πεπεισμένοι
ἦσαν [τινες] ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν, καὶ παρεσκευάζοντο
αἰτιᾶσθαι καὶ προαγορεύειν εἴργεσθαι τῶν νομίμων. τίνες οὖν
ἦσαν οἱ πείσαντες αὐτούς; καὶ τίνος ἕνεκα καὶ πρόθυμοι
ἐγένοντο πεῖσαι αὐτούς; δεῖ γάρ με καὶ ταῦτα ὑμᾶς διδάξαι.
35 κατηγορήσειν ἔμελλον Ἀριστίωνος καὶ Φιλίνου καὶ Ἀμπελίνου
καὶ τοῦ ὑπογραμματέως τῶν θεσμοθετῶν, μεθ' οὗπερ
συνέκλεπτον, περὶ ὧν εἰσήγγειλα εἰς τὴν βουλήν. καὶ αὐτοῖς ἐκ
μὲν τῶν πεπραγμένων οὐδεμία ἦν ἐλπὶς ἀποφεύξεσθαι –
τοιαῦτα ἄρ' ἦν τὰ ἠδικημένα· πείσαντες δὲ τούτους
ἀπογράφεσθαι καὶ προαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων,
ἡγήσαντο ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν

**6.34** τινες del. Dobree



τῶν πραγμάτων ἁπάντων. ὁ γὰρ νόμος οὕτως ἔχει, ἐπειδάν 36
τις ἀπογραφῆι φόνου δίκην, εἴργεσθαι τῶν νομίμων· καὶ οὔτ' ἂν
ἐγὼ οἷός τ' ἦν ἐπεξελθεῖν εἰργόμενος τῶν νομίμων, ἐκεῖνοί τε
ἐμοῦ τοῦ εἰσαγγείλαντος καὶ ἐπισταμένου τὰ πράγματα μὴ
ἐπεξιόντος ῥαιδίως ἔμελλον ἀποφεύξεσθαι καὶ δίκην οὐ δώσειν
ὑμῖν ὧν ἠδίκησαν. καὶ τοῦτο οὐκ ἐπ' ἐμοὶ πρῶτον
ἐμηχανήσαντο Φιλῖνος καὶ οἱ ἕτεροι, ἀλλὰ καὶ ἐπὶ
Λυσιστράτωι πρότερον, ὡς αὐτοὶ ὑμεῖς ἠκούσατε. καὶ οὗτοι 37
τότε μὲν πρόθυμοι ἦσαν ἀπογράφεσθαί με εὐθὺς τῆι ὑστεραίαι
ἧι ὁ παῖς ἐθάπτετο, πρὶν τὴν οἰκίαν καθῆραι καὶ τὰ νομιζόμενα
ποιῆσαι, αὐτὴν ταύτην φυλάξαντες τὴν ἡμέραν ἐν ἧι ἔμελλεν ὁ
πρῶτος ἐκείνων κριθήσεσθαι, ὅπως μηδὲ καθ' ἑνὸς αὐτῶν οἷός
τε γενοίμην ἐπεξελθεῖν μηδ' ἐνδεῖξαι τῶι δικαστηρίωι
τἀδικήματα· ἐπειδὴ δὲ αὐτοῖς ὁ βασιλεὺς τούς τε νόμους 38
ἀνέγνω, καὶ χρόνους ἐπέδειξεν ὅτι οὐκ ἐγχωροίη
ἀπογράψασθαι καὶ τὰς κλήσεις καλεῖσθαι ὅσας ἔδει, καὶ ἐγὼ
τοὺς ταῦτα μηχανωμένους εἰσάγων εἰς τὸ δικαστήριον εἷλον
ἅπαντας, καὶ ἐτιμήθη αὐτοῖς ὧν ὑμεῖς ἐπίστασθε, καὶ οὗτοι ὧν
ἕνεκα ἐλάμβανον χρήματα οὐδὲν αὐτοῖς οἷοί τε ἦσαν ὠφελῆσαι,
τότε δὴ προσιόντες αὐτῶι τ' ἐμοὶ καὶ τοῖς φίλοις ἐδέοντο
διαλλαγῆναι, καὶ δίκην ἕτοιμοι ἦσαν διδόναι τῶν
ἡμαρτημένων. καὶ ἐγὼ πεισθεὶς ὑπὸ τῶν φίλων διηλλάγην 39
τούτοις ἐν Διιπολείοις ἐναντίον μαρτύρων, οἵπερ διήλλαττον
ἡμᾶς πρὸς τῶι νεῶι τῆς Ἀθηνᾶς· καὶ μετὰ τοῦτο συνῆσάν μοι
καὶ διελέγοντο ἐν τοῖς ἱεροῖς, ἐν τῆι ἀγορᾶι, ἐν τῆι ἐμῆι οἰκίαι, ἐν
τῆι σφετέραι αὐτῶν καὶ ἑτέρωθι πανταχοῦ. τὸ τελευταῖον, ὦ 40
Ζεῦ καὶ θεοὶ πάντες, Φιλοκράτης αὐτὸς οὑτοσὶ ἐν τῶι
βουλευτηρίωι ἐναντίον τῆς βουλῆς, ἑστὼς μετ' ἐμοῦ ἐπὶ τοῦ
βήματος, ἁπτόμενος ἐμοῦ διελέγετο, ὀνόματι οὗτος ἐμὲ προ-
σαγορεύων, καὶ ἐγὼ τοῦτον, ὥστε δεινὸν δόξαι εἶναι τῆι
βουλῆι, ἐπειδὴ ἐπύθετο προειρημένον μοι εἴργεσθαι τῶν
νομίμων ὑπὸ τούτων οὓς ἑώρων μοι τῆι προτεραίαι συνόντας

**6.38** ὅτι Dobree: τί *AN*
**6.39** Διιπολείοις Scheibe: τῆι πόλει *AN*

41 καὶ διαλεγομένους. σκέψασθε δὲ καί μοι μνήσθητε, ὦ ἄνδρες·
ταῦτα γὰρ οὐ μόνον μάρτυσιν ὑμῖν ἀποδείξω, ἀλλὰ καὶ ἐξ
αὐτῶν τῶν ἔργων ἃ τούτοις πέπρακται ῥαιδίως γνώσεσθε ὅτι
ἀληθῆ λέγω. καὶ πρῶτον ἃ τοῦ βασιλέως κατηγοροῦσι καὶ διὰ
τὴν ἐμὴν σπουδὴν οὔ φασιν ἐθέλειν αὐτὸν ἀπογράφεσθαι τὴν
δίκην, τοῦτο δὲ κατ' αὐτῶν τούτων ἔσται τεκμήριον ὅτι οὐκ
42 ἀληθῆ λέγουσι. ἔδει μὲν γὰρ τὸν βασιλέα, ἐπειδὴ ἀπεγράψατο,
τρεῖς προδικασίας ποιῆσαι ἐν τρισὶ μησί, τὴν δίκην δ' εἰσάγειν
τετάρτωι μηνί, ὥσπερ νυνί· τῆς δ' ἀρχῆς αὐτῶι λοιποὶ δύο
μῆνες ἦσαν, Θαργηλιὼν καὶ Σκιροφοριών. καὶ οὔτ' εἰσάγειν
δήπου οἷός τ' ἂν ἦν ἐφ' ἑαυτοῦ, οὔτε παραδοῦναι φόνου δίκην
ἔξεστιν, οὐδὲ παρέδωκεν οὐδεὶς πώποτε βασιλεὺς ἐν τῆι γῆι
ταύτηι. ἥντινα οὖν μήτε εἰσάγειν μήτε παραδοῦναι ἐξῆν
αὐτῶι, οὐδ' ἀπογράφεσθαι ἠξίου παρὰ τοὺς ὑμετέρους
43 νόμους. καὶ ὅτι οὐκ ἀδικεῖ αὐτούς, μέγιστον σημεῖον·
Φιλοκράτης γὰρ οὑτοσὶ ἑτέρους τῶν ὑπευθύνων ἔσειε καὶ
ἐσυκοφάντει, τούτου δὲ τοῦ βασιλέως, ὅν φασι δεινὰ καὶ
σχέτλια εἰργάσθαι, οὐκ ἦλθε κατηγορήσων εἰς τὰς εὐθύνας.
καίτοι τί ἂν ὑμῖν τούτου μεῖζον τεκμήριον ἀποδείξαιμι, ὅτι οὐκ
44 ἠδικεῖτο οὔθ' ὑπ' ἐμοῦ οὔθ' ὑπ' ἐκείνου; ἐπειδὴ γὰρ οὑτοσὶ ὁ
βασιλεὺς εἰσῆλθεν, ἐξὸν αὐτοῖς ἀπὸ τῆς πρώτης ἡμέρας
ἀρξαμένοις τοῦ Ἑκατομβαιῶνος μηνὸς τριάκονθ' ἡμέρας
συνεχῶς τούτων ἧι τινι ἐβούλοντο ἀπογράφεσθαι,
ἀπεγράφοντο οὐδεμιᾶι· καὶ αὖθις τοῦ Μεταγειτνιῶνος μηνὸς
ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις ἐξὸν αὐτοῖς
ἀπογράφεσθαι ἧι τινι ἐβούλοντο, οὐδ' αὖ πω ἐνταῦθα
ἀπεγράψαντο, ἀλλὰ παρεῖσαν καὶ τούτου τοῦ μηνὸς εἴκοσιν
ἡμέρας· ὥστε αἱ σύμπασαι ἡμέραι ἐγένοντο αὐτοῖς πλέον ἢ
πεντήκοντα ἐπὶ τούτου τοῦ βασιλέως, ἐν αἷς ἐξὸν αὐτοῖς
45 ἀπογράψασθαι οὐκ ἀπεγράψαντο. καὶ οἱ μὲν ἄλλοι ἅπαντες
ὅσοις ἐπὶ τοῦ αὐτοῦ βασιλέως ὁ χρόνος μὴ ἐγχωρεῖ . . . οὗτοι δ'
ἐπιστάμενοι μὲν τοὺς νόμους ἅπαντας, ὁρῶντες δ' ἐμὲ
βουλεύοντα καὶ εἰσιόντ' εἰς τὸ βουλευτήριον – καὶ ἐν αὐτῶι τῶι
βουλευτηρίωι Διὸς Βουλαίου καὶ Ἀθηνᾶς Βουλαίας ἱερόν ἐστι,
καὶ εἰσιόντες οἱ βουλευταὶ προσεύχονται, ὧν κἀγὼ εἷς ἦν, ὁ



ταῦτα πράττων, καὶ εἰς τἆλλα ἱερὰ πάντα εἰσιὼν μετὰ τῆς
βουλῆς, καὶ θύων καὶ εὐχόμενος ὑπὲρ τῆς πόλεως ταύτης, καὶ
πρὸς τούτοις πρυτανεύσας τὴν πρώτην πρυτανείαν ἅπασαν
πλὴν δυοῖν ἡμέραιν, καὶ ἱεροποιῶν καὶ θύων ὑπὲρ τῆς
δημοκρατίας, καὶ ἐπιψηφίζων καὶ λέγων γνώμας περὶ τῶν
μεγίστων καὶ πλείστου ἀξίων τῆι πόλει φανερὸς ἦν· καὶ οὗτοι 46
παρόντες καὶ ἐπιδημοῦντες, ἐξὸν αὐτοῖς ἀπογράφεσθαι καὶ
εἴργειν ἐμὲ τούτων ἁπάντων, οὐκ ἠξίουν ἀπογράφεσθαι· καὶ
ἱκανά γ' ἦν ὑπομνῆσαι καὶ ἐνθυμηθῆναι, εἴπερ ἠδικοῦντο,
ἀμφότερα καὶ σφῶν αὐτῶν ἕνεκα καὶ τῆς πόλεως. διὰ τί οὖν οὐκ
ἀπεγράφοντο; διὰ τί συνῆσαν καὶ διελέγοντο; συνῆσάν τε γάρ
μοι οὐκ ἀξιοῦντες φονέα εἶναι, καὶ οὐκ ἀπεγράφοντο τούτου
αὐτοῦ ἕνεκα, οὐχ ἡγούμενοί με ἀποκτεῖναι τὸν παῖδα οὐδ'
ἔνοχον εἶναι τοῦ φόνου οὐδὲ προσήκειν μοι τούτου τοῦ
πράγματος οὐδέν. καίτοι πῶς ἂν ἄνθρωποι σχετλιώτεροι ἢ 47
ἀνομώτεροι γένοιντο; οἵτινες ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ
ἔπεισαν, ταῦθ' ὑμᾶς ἀξιοῦσι πεῖσαι, καὶ ἃ αὐτοὶ ἔργωι
ἀπεδίκασαν, ταῦτα ὑμᾶς κελεύουσι καταδικάσαι· καὶ οἱ μὲν
ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐξελέγχουσιν, οὗτοι
δὲ τοῖς λόγοις ζητοῦσι τὰ ἔργα ἄπιστα καταστῆσαι. καίτοι εἰ 48
μηδὲν ἄλλο μήτε εἶπον μήτε ἀπέφηνα μήτε μάρτυρας
παρεσχόμην, ἀλλὰ ταῦτα ὑμῖν ἀπέδειξα, τούτους ὅπου μὲν
χρήματα λαμβάνοιεν ἐπ' ἐμοί, αἰτιωμένους καὶ προσ-
αγορεύοντας, ὅπου δὲ μὴ εἴη ὁ δώσων, συνόντας καὶ
διαλεγομένους, ἱκανὰ ἦν καὶ αὐτὰ ταῦτα ἀκούσαντας
ἀποψηφίσασθαι καὶ τούτους νομίζειν ἐπιορκοτάτους καὶ
ἀνοσιωτάτους πάντων ἀνθρώπων. οὗτοι γὰρ ποίαν δίκην οὐ 49
δικάσαιντ' ἂν ἢ ποῖον δικαστήριον οὐκ ἐξαπατήσειαν ἢ τίνας
ὅρκους οὐκ ἂν τολμήσειαν παραβαίνειν, οἵτινες καὶ νῦν
τριάκοντα μνᾶς ἐπ' ἐμοὶ λαβόντες παρὰ τῶν ποριστῶν καὶ
τῶν πωλητῶν καὶ τῶν πρακτόρων καὶ τῶν ὑπογραμματέων
οἷ τούτοις ὑπεγραμμάτευον, ἐξελάσαντές με ἐκ τοῦ
βουλευτηρίου, ὅρκους τοιούτους διωμόσαντο, ὅτι πρυτανεύων
πυθόμενος αὐτοὺς δεινὰ καὶ σχέτλια ἐργάζεσθαι εἰσῆγον εἰς τὴν
βουλήν, καὶ ἐδίδαξα ὡς χρὴ ζητοῦντας ἐπεξελθεῖν τῶι

50 πράγματι. καὶ νῦν δίκην διδόασιν ὧν ἠδικήκασιν αὐτοί τε καὶ οἱ μεσεγγυησάμενοι, [καὶ] παρ' οἷς ἐτέθη τὰ χρήματα, καὶ τὰ πραχθέντα φανερὰ γεγένηται. ὥστ' οὐδ' ἂν οὗτοι βούλωνται ἀρνεῖσθαι ῥαιδίως οἷοί τ' ἔσονται· οὕτως αὐτοῖς πέπρακται τὰ πράγματα.

51 ποῖον οὖν δικαστήριον οὐκ ἂν ἔλθοιεν ἐξαπατήσοντες, ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσειαν παραβαίνειν οὗτοι οἱ ἀνοσιώτατοι, οἵτινες καὶ ὑμᾶς εἰδότες εὐσεβεστάτους τῶν Ἑλλήνων δικαστὰς καὶ δικαιοτάτους καὶ ἐφ' ὑμᾶς ἥκουσιν ἐξαπατήσοντες εἰ δύναιντο, ὅρκους τοσούτους διομοσάμενοι;

## Fr. 1. Περὶ τῆς μεταστάσεως

### 1a

. . . αἱρεθεὶς ἀρχ⌞ὴν⌟ ἄρξαι χρήματα πολλὰ διεχείρισα καὶ εὔθυναί μοι ἦσαν ἃς ἐδεδοίκειν, ἢ ἄτιμος ἦν, ἢ κακόν τι ὑμᾶς εἰργασάμην, ἢ δίκην ἐπιρρέπουσαν ἐδεδοίκειν; οὐ δῆ⌞τα⌟ ἔγωγε, ἐπεὶ οὐδέν μοι ἦν τούτων. ἀλλ' ὡς χρήματα ἀφείλεσθε ἐμοῦ; ἀλλ' ὡς τῶν προγόνων τῶν ἐμῶν κακόν τι εἰργα⌞σμένων . . . οἱ μὲν ἄλλοι τούτου ἕνεκ⌞α ἄλλης τινὸς πολιτείας ἢ τῆς καθεστηκυίας ἐπιθυμοῦσιν, ἵνα ἢ ὧν ἠδίκησαν δίκην μὴ δῶσιν, ἢ ὧν ἔπαθον τιμωρῶνται καὶ αὖθις μηδὲν πάσχωσιν· ἀλλ' ἐμοὶ τοιοῦτον οὐδὲν ἦν.

ἀλλὰ μὲν δὴ λέγουσιν οἱ κατήγοροι ὡς συνέγραφόν τε δίκας ἄλλοις καὶ ὡς ἐκέρδαινον ἀπὸ τούτου· οὐκοῦν ἐν μὲν τῆι ὀλιγαρχίαι οὐκ ἂν ἦν μοι τοῦτο, ⌞ἐν⌟ δ⌞ὲ τῆι δημ⌟οκρα⌞τίαι πάλ⌟αι ὁ κρ⌞ατῶν⌟ εἰμι ἐγὼ εἰδ⌞ὼς⌟ τοῦ λέγειν. ἐν μὲν τῆι ὀλιγαρχίαι οὐδενὸς ἔμελλον ἄξιος ἔσεσθαι, ἐν δὲ τῆι δημοκρατίαι πολλοῦ. φέρε δή, πῶς εἰκός ἐστιν ἐμὲ ὀλιγαρχίας ἐπιθυμεῖν; πότερον ταῦτα ἐκλογίζεσθαι οὐχ οἷός τ' εἰμί, ἢ οὐ γιγνώσκειν τὰ λυσιτελοῦντ' ἐμαυτῶι ⌞μόνος⌟ Ἀθη⌞ναίων . . .

6.50 καὶ del. Platner



### 1b

. . . περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὡς στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός . . . οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν.

### 1c

περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν.